Τῷ ἐν Ἀθήναις Ἐθνικῷ Πανεπιστημίῳ εὖ πράττειν.

Μεθ' ἡδονῆς μὲν περὶ τῆς ἐσομένης ἑορτῆς σὺν Θεῷ πέντε καὶ ἑβδομήκοντα καρπίμοις ἔτεσιν, χάριν δ' εἰδότες ὅτι ἐβούλεσθε ἡμᾶς παρακαλεῖν ἀπεστείλαμεν Edward Washburn Hopkins, Καθηγητὴν τῆς Ἰνδικῆς Φιλολογίας παρ' ἡμῖν ὄντα καὶ Albert Tobias Clay, τῶν Μεσοποταμίων Καθηγητὴν, οἵπερ ἀνθ' ἡμῶν παρόντες ἐροῦσι καὶ συμπράξουσιν. Τίς γὰρ ἀγνοεῖ ὡς οἱ πατέρες ὑμῶν τοῦ πολέμου μόλις ἤδη λήξαντος ἔγνωσαν ἐπιστήμαις τε καὶ τέχναις ἀνανεώσασθαι τὸ ἔθνος; Οὐ δὴ οὐκ ἐψεύσθησαν· νῦν γὰρ ὥςπερ καὶ ἐπὶ Περικλέους τὴν πόλιν ὑμῶν ὁρῶμεν τῆς Ἑλλάδος παίδευσιν οὖσαν. Οὐ μόνον δ' ἐξ Ἑλλάδος ἀλλὰ καὶ ἐκ τῶν τότε μὲν βαρβάρων νῦν δὲ πάλαι ἡλληνισμένων ἐθνῶν συμφοιτῶσιν εἰς Ἀθήνας ὁπόσοι ἂν μετέχοντες γνησίως τοῦ Ἑλληνισμοῦ βούλωνται τὰ τῶν παλαιῶν κάλλιστα θεωρεῖν καὶ τὰ τῶν ἐφ' ἡμῶν θαυμαστὰ θαυμάζειν. Διδοίη δὲ Θεὸς τῷ ἐν Ἀθήναις Ἐθνικῷ Πανεπιστημίῳ διατελεῖν ἔτι πολλὰς ἑκατονταετηρίδας εὐεργετοῦντι τοὺς Ἕλληνας καὶ μετ' αὐτῶν πάντας ἀνθρώπους. Ἔρρωσθε.

Ἐν Ney Haven, τῇ πρώτῃ τοῦ τρίτου μηνὸς 1912.

Ὁ Πρύτανις
Arthur Twining Hadley

Ὁ Γραμματεὺς
James Hesley Cooper

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΟΛΟΥΜΒΙΑΚΟΝ ΝΕΑΣ ΥΟΡΚΗΣ
UNIVERSITÉ COLUMBIA DE NEW YORK

The National University of Greece
From
Columbia University in the City of New-York.

Greeting:—Columbia University congratulates her sester University on the happy and succesful achievement of seventy five years of vigorous and useful life, beholding also in her the realization and the emblem of the energy and glory alike of venerable Athens and of that modern Greece which is the worthy inheritor of the memorable past. Fare well.

April the eighth, in the year one thousand nine hundred and twelve.

FRANCE — ΓΑΛΛΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΒΟΡΔΙΓΑΛΩΝ — UNIVERSITÉ DE BORDEAUX

L'Université de Bordeaux

a tenu à ce qu'un de ses membres assistât aux fêtes de l'Université nationale d'Athènes. Notre Sud-Ouest a toujours été fidèle à l'idéal de beauté, de mesure que l'Athènes de l'antiquité a réalisé dans le monde avec tant de grâce et de force. Il a essayé de le reproduire dans les œuvres de ses écrivains, ennemis de tout excès de pensée ou de doctrine, dans l'ordonnance de ses monuments harmonieusement équilibrés et même dans sa vie quotidienne, paisible et demi-souriante.

C'est pourquoi si nous n'avons jamais oublié les leçons de l'Athènes antique, nous regardons aujourd'hui avec un amour respectueux et attendri, grandir l'Athènes moderne. Elle a toujours pour les choses de l'esprit le culte que leur portaient ici les ancêtres, et son Université, si jeune et déjà si vigoureuse, en est la preuve vivante. Chez vous, d'ailleurs, c'est une tradition profonde. Le passé, qui est incomparable, guide le présent, l'anime, le fortifie, l'encourage. Vos vieux chants populaires ne disaient-ils pas autrefois qu'en Grèce les pères ont de nobles fils, et que ces fils, à leur tour, ont des enfants plus nobles encore? Les choses sont toujours les mêmes:

Ἁμὲς πόκ' ἦμες ἄλκιμοι νεανίαι.—
Ἁμὲς δέ γ' εἰμὲς· αἱ δὲ λῆς αὐγάζεο.—
Ἁμὲς δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες.

P. Masqueray
Délégué du Ministère de l'Instruction Publique et de L'Université de Bordeaux

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΓΡΕΝΟΒΛΗΣ — UNIVERSITÉ DE GRENOBLE

Le Conseil de l'Université de Grenoble au Conseil de l'Université Nationale de Grèce

Le Conseil de l'Université de Grenoble a été heureux de répondre à votre cordiale invitation en déléguant un de ses Professeurs pour la représenter aux fêtes du soixante-quinzième anniversaire de votre Université.

La date que vous nous avez conviés à commémorer avec vous est, par elle-même, d'une haute éloquence. L'Université Nationale est, peu faut, aussi âgée que le Royaume de Grèce, et sa fondation a suivi de tout près la proclamation définitive de l'indépendance glorieusement reconquise. Un de vos héros n'a-t-il pas dit, le jour où elle fut inaugurée, qu'elle continuerait pacifiquement l'œuvre commencée par le sabre des Palikares? La France ayant collaboré à cette œuvre, nous sommes fidèles à une tradition nationale en nous réjouissant avec vous d'un événement qui rappelle ces grands souvenirs.

Nous félicitons l'Université de Grèce d'avoir eu, dès son origine, la noble mission d'être le symbole vivant de l'Hellénisme.

Par la science du passé, en rattachant, à travers les siècles, l'Athènes nouvelle à l'Athênes antique, elle a retrouvé les titres de noblesse de la nation qui venait de renaître, et lui a assuré, avec le respect de tout le monde civilisé, un droit désormais inviolable à l'existence: c'est la Vérité qui a, pour toujours, consolidé la Liberté. Or ces deux mots figurent dans la armoires de l'Université de Grenoble: nous voyons avec satisfaction que votre Université s'est approprié notre vieille devise „Veritas liberavit" pour la réaliser à sa manière.

D'autre part, elle est le centre d'où l'Hellénisme rayonne. De tous les points de l'Orient où on reste obstinément fidèle à la plus belle et à la plus ancienne de toutes les langues, c'est chez vous comme en une maison commune qu'on vient prendre conscience de l'Unité et de la force morale de la „Nation". L'Université de Grenoble, qui, depuis moins de quinze ans, a attiré environ dix mille auditeurs étrangers, accomplissant ainsi, de son côté une œuvre un peu différente, mais comparable, d'expansion et de diffusion de la langue et de la culture française, admire hautement le rôle patriotique que vous jouez dans le monde hellénique.

Vu l'origine et la mission de l'Université Nationale, il peut paraître superflu de lui souhaiter, selon l'usage et

la formule traditionelle, longs jours et prospérité. Née en même temps que le Royaume de Grèce, elle est assurée de „Vivre, Croître et Fleurir" tant que durera Celle que nous appelons volontiers en France „la Grèce éternelle".

Grenoble, le 14 Mars 1912.

Le Recteur
Président du Conseil de l'Université
Petit-Dutaillis

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΛΟΥΓΔΟΥΝΟΥ — UNIVERSITÉ DE LYON

Dans la glorieuse histoire du relèvement de la Grèce, au milieu de tant d'actes d'héroïsme, de désintéressement, d'abnégation sublime qui éblouissent l'esprit comme les épisodes d'une fabuleuse épopée, c'est avec émotion et respect qu'on voit se manifester dès le début, chez les restaurateurs de la patrie, le souci de l'instruction publique. Réalisée en 1837 — dix ans à peine après que le canon de Navarin eut reveillé, comme une fanfare de triomphe, les échos de l'antique Pylos, — la création de l'Université d'Athènes était déjà projetée en 1824, lorsque la commission spéciale instituée par l'Assemblée d'Epidaure déclarait „nécessaires pour le bonheur du pays trois degrés d'enseignements: l'enseignement primaire et populaire, l'enseignement secondaire et classique, l'enseignement supérieur"; elle l'était, peut-on dire, à l'époque même de cette Assemblée, puisque les premiers représentants de la Grèce affranchie, discutant et légiférant parmi les rumeurs de la guerre, inscrivaient noblement en tête de la constitution nouvelle, au rang des libertés fondamentales, celle de l'instruction. Ainsi, les origines du haut établissement qui accomplit maintenant sa soixante-quinzième année d'existence officielle, de l'établissement qui représente la culture scientifique aux lieux où enseignèrent Platon et Aristote, sont en réalité intimement mêlées aux origines mêmes de la Grèce moderne. Et cela, aux yeux de tout Français épris de liberté et d'ideal, est une raison de plus pour applaudir à sa prospérité et pour souhaiter qu'elle aille toujours croissant.

De Lyon en particulier ne sauraient manquer de venir les assurances de la plus chaude sympathie. Si la terre sacrée de l'Attique a été le berceau de la civilisation européenne, Lugdunum fut jadis, au milieu des Gaules demi-barbares, un foyer de culture gréco-latine; notre sol, comme le vôtre, est riche en débris des anciens âges.

Aussi les esprits des Lyonnais, si actifs cependant et si entreprenants, furent-ils inclinés à toute époque vers le culte ému du passé; et sans doute ce n'est point par hasard qu'un des premiers voyageurs qui aient fait connaître en Occident les restes de l'ancienne Athènes fut un habitant de notre ville, le médecin archéologue Spon. Aujourd'hui, au nombre des Français qui, vivant près de vous, paient à vos arts, à vos antiquités le tribut d'une studieuse admiration, et qui sont, en même temps, les interprètes constants de notre philhellénisme, figurent plusieurs élèves de l'Université lyonnaise; un maître de cette Université dirigeait naguère avec éclat l'Ecole française d'archéologie; plus récemment encore, deux professeurs de Lyon étaient accueillis parmi vous, comme des collègues temporaires, avec une amabilité dont je suis heureux de pouvoir remercier publiquement Monsieur le Recteur et Messieurs les Doyens, le Sénat académique et le corps universitaire tout entier.

Puissent les liens entre Athènes et Lyon, entre les Universités lyonnaise et athénienne, se resserrer et se multiplier; c'est de tout cœur qu'à notre salut confraternel nous joignons l'expression de cet espoir!

Le Recteur
Président du Conseil de l'Université
P. Joubin

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΜΟΝΤΠΕΛΛΙΕΡΟΥ — UNIVERSITÉ DE MONTPELLIER

Τῷ σεμνοτάτῳ τῆς Ἑλλάδος ἐπιστημίῳ τῷ Ἀθήνησι
τὸ Μοντπελλιέριον ἐπιστήμιον.

Χαίρετε πολλ᾽ ἔτυμοι πατέρες ὥς παίδων ἀγαυῶν
Οἵ γ᾽ ἰότητι θεῶν λήμασι πειθόμενοι

Ἄξιά τ' ἐν Μαραθῶνι δορεῖ τλήσαντες Ὁμήρου
Τοξοφόρων Μήδων ἐσκέδασαν νεφέλην.
Οὐ πόλιν οἶδε μίαν ῥύσαντ', οὐ πατρίδα γαῖαν
Ἀλλ' ὅλα βαρβαρικῆς ἔθνεα δουλοσύνης,
Ἥν τε δόλῳ μάκαρας Τιτὰν ἔκλεψε Προμηθεὺς
Λαμπάδα Ῥωμαίοις ἀθανάτην ἐδίδουν
Καὶ Γαλατῶν γε χέρας φλεγέθουσα μετῆλθεν ἀδελφῶν
Χὔστερον ἄσβεστος πάντ' ἐπὶ λαὸν ἴεν.
Τοῖς γὰρ ἅπασι βροτοῖς τεχνῶν τε διδάσκαλος Ἑλλὰς
Ὑψηλῶν ἀπέβη καὶ παράδειγμα λόγων
Ἐξ οὗπερ καὶ θεῖα Πλάτων τεκμήρατο βάγχος
Κἀνθρώπινα μαθὼν γράψεν Ἀριστοτέλης.
Ἀνθ' ὧν ἴσα νέμοιντ' ἀγάθ' αἳ νῦν ταῖς πρὶν Ἀθήναις
Εἴ γ' ἦθος μέμονεν σύγγονον ἀμφοτέραις,
Χὤντιν' ἐλευθερίοις στήσαιτε μαθήμασιν οἶκον
Εἴρξαντες ξενικὰς πάντοθε μητρὶ πέδας
Εἷς αἰεὶ γενικῆς ἀρετῆς σώσειεν ἄωτον
Καὶ σοφίης δὲ νέον σμῆνος ἐκεῖθε βρύοι,
Δημοσίαις δ' ἀθρόοι τελεταῖς εὐφραίνετε θυμὸν,
Αἷςπερ πέμπτον ἔτος χἀβδομακοστὸν ἄγει
Καὶ χαρίτων σμικρὸν τόδε μνῆμα φυλάσσετε χάρτην,
Ἡ Μοντπελλιέρου βῆ πάρα γυμνασίων.

Ὁ Πρύτανις
Vigié

Ἐλαφηβολιῶνος ἀρχομένου δευτέρᾳ ἔτει σωτηρίῳ ᾳϡΙΒ' Μοντπελλιέροι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΝΑΝΣΥ — UNIVERSITÉ DE NANCY

Monsieur le Recteur,

L'Université de Nancy sait trop bien ce qu'elle doit à Athènes et à la Grèce, pour ne pas s'associer de tout cœur au Jubilé de votre Université Nationale.

Notre Faculté des Lettres, en particulier, a été fondée en 1854 par cinq jeunes maîtres, justement fiers de rapporter en France pour la première fois le beau titre d'Athénien: Burnouf, Benoît, Lacroix, Lévêque et Mézières. Et depuis lors, par une tradition ininterrompue, toujours quelques-uns, après avoir puisé à la même source, ont tenu à honneur d'entretenir en Lorraine la culture hel-

lénique. Gebhardt, le fin lettré qui se piquait d'atticisme; Petit de Julleville et Decharme, deux historiens; Vidal de la Blache et Marcel Duvois, deux géographes; puis des philologues, Riemann, Couve et Cousin; puis un fervent ami de Byzance, Charles Diehl, et bientôt Lauret; enfin des archéologues, Homolle, Perdrizet, Colin, grâce à qui les noms de Delphes et de Délos nous sont plus familiers que ceux de nos propres sanctuaires, Nulle Université ne peut se glorifier, comme la nôtre, d'avoir compté parmi ses maîtres autant de membres de l'Ecole française d'Athènes, ni surtout deux futurs directeurs de cette Ecole, Burnouf et Homolle.

Notre Faculté de Droit elle-même a parmi ses professeurs un des savants qui ont le mieux étudié vos antiquités juridiques, Ludovic Beauchet. Enfin notre Faculté des Sciences ne veut pas vous rester étrangère, puisque c'est un de ses maîtres, M. Paul Petit, un chimiste, qui fait aujourd'hui comme jadis l'ami de Berthelot, le pélerinage de l'Acropole, pour vous apporter notre adresse.

L'Université d'Athènes, foyer de lumière, centre de civilisation et principe d'unité, qui rayonne jusqu'où s'étend l'ancien monde hellénique, nous est d'autant plus chère, que ses bienfaits se répandent sur des populations que la France a longtemps été seule à éclairer, à protéger, à appeler à des destins meilleurs, et où maintenant encore le nom de la France, et les grandes idées qu'elle représente, éveillent un sympathique écho dans tous les cœurs.

Longue et heureuse vie à l'Université Nationale de Grèce! J'entends cette vie scientifique, la seule dont il soit permis de dire qu'elle peut durer toujours et s'accroître continuellement!

Et puisse aussi votre rameau d'olivier, devenu chez nous symbole Universitaire, rappeler toujours à l'Université de Nancy, plus q'à toute autre, son lieu d'origine, l'Attique, et s'enlacer fraternellement au rude chardon de la Lorraine!

Le Recteur de l'Université

Ch. Adam

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΠΑΡΙΣΙΩΝ — UNIVERSITÉ DE PARIS

L'Université de Paris à l'Université d'Athènes.

Monsieur le Recteur, Messieurs,

L'Université de Paris adresse à l'Université d'Athènes ses félicitations cordiales et ses vœux de prospérité les plus sincères.

Elle se souvient que ses relations avec la Grèce datent de fort loin. Au XVème siècle, un de ses premiers „Maîtres de grec" fut un de vos compatriotes, Georges Hermonyme de Sparte; il donna ses leçons au savant qui restaura en France les études grecques, Guillaume Budé. C'était là comme le gage des progrès futurs de ce philhellénisme intellectuel qui est resté dans nos traditions. Mais jamais les rapports scientifiques n'ont été plus étroits qu'aujourd'hui entre notre pays et le vôtre.

Vos étudiants ont appris le chemin de la montagne Sainte-Geneviève. Des noms hellènes sont restés chers à notre Faculté de Médecine et à notre Faculté de Droit. La Sorbonne a compté et compte encore des maîtres qui, dans la maison française du Lycabette, ont été les hôtes de la Grèce, et gardent un souvenir reconnaissant de l'accueil libéral qu'ils y ont trouvé.

Si, par la date de sa fondation, votre Université est une des plus jeunes, elle peut invoquer des titres de noblesse incomparables. Creée pour devenir, dans la capitale de la Grèce indépendante, le centre de la haute culture, elle remplit sa mission en s'inspirant du passé le plus glorieux. A vrai dire, elle est l'héritière d'une très ancienne Université d'Athènes, celle de l'époque imperiale romaine. On peut en effet désigner ainsi l'enseignement officiel que donnaient, dans des chaires fondées par Antonin et Marc-Aurèle, les maîtres d'éloquence et de philosophie auxquels Athènes devait maintenir son prestige séculaire. Le souvenir du temps où elle était l'„Ecole de l'Hellade" a triomphé de l'ignorance des siècles de barbarie. Et lorsqu'après le réveil de l'humanisme, les premiers voyageurs

occidentaux interrogeaient les ruines de l'antique Athènes, ils y cherchaient, avec une pieuse curiosité, les vestiges de ces „écoles" qui revivent aujourd'hui, ouvertes à tous les progrès de la science moderne.

Nous ne saurions oublier qu'entre votre histoire et la nôtre il y a certaines analogies. Sous sa forme actuelle et renouvellée, notre Université doit sa renaissance aux idées de la Révolution française. La vôtre est née d'un admirable élan du sentiment national. La Grèce libérée a voulu qu'elle fût l'instrument de la régénération, le signe de l'unité de la race, le foyer des plus légitimes ambitions de l'hellénisme. Elle est l'œuvre de tous, car, par un magnifique mouvement de généreuse émulsion, tous depuis les plus opulents jusqu'aux plus humbles, ont eu l'orgueil patriotique de contribuer à sa fondation. Aussi l'un des héros de la guerre de l'Indépendance, Kolokotronis, pouvait-il dire avec fierté: „La plus grande maison de la Nation, c'est l'Université d'Athènes".

Puisse la maison grandir encore, pour l'honneur de la Grèce! Tel est le vœu que forme l'Université de Paris, en adressant à sa sœur athénienne son salut le plus amical.

Paris, le 7 Avril 1912.

Le Vice-Recteur
Président du Conseil de l'Université de Paris
L. Liard

Le Professeur délégué de l'Université de Paris
Max. Collignon

ΓΑΛΛΙΚΟΝ ΚΟΛΛΕΓΙΟΝ ΠΑΡΙΣΙΩΝ — COLLÈGE DE FRANCE A PARIS

Le Collège de France
à L'Université d'Athènes.

Monsieur le Recteur, Messieurs,

En saluant la jeune et déjà glorieuse Université d'Athènes, qui célèbre aujourd'hui son 75e anniversaire, le Collège de Françe est heureux d'acquitter une dette de reconnaissance envers la Grèce.

C'est à la renaissance des études grecques en Occident qu'il a dû lui-même son origine. Ce sont des représentants

ou des amis de la pensée grecque qui ont été ses créateurs. Et cette pensée, venue du pays où étaient nées autrefois toute science et toute philosophie, était une pensée d'affranchissement, comme celle d'où est issue la Grèce moderne, comme celle aussi qui a fait surgir, pour son peuple rajeuni, l'Université où son âme se refait chaque jour plus haute et plus large en vue de ses destinées nouvelles. Héritiers et gardiens de la tradition qui fut fondée par les Budé, les Turnèbe, les Casaubon, nous avons à cœur de souhaiter plein succès et longue prospérité aux représentants de l'Hellénisme moderne, et nous sommes heureux de leur dire dans quels sentiments d'amitié sincère nous nous associons à leurs initiatives scientifiques, comme à leurs espérances nationales.

Maurice
Administrateur da Collège de France

D'Arsonval
Vice-Président de l'Assemblée des Professeurs

J. Bedier
Secrétaire de l'Assemblée des Professeurs

Chavannes
Professeur délégué

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ RENNES — UNIVERSITÉ DE RENNES

Τὸ τῶν Ῥηδόνων Πανεπιστήμιον τῷ τῶν Ἀθηναίων Πανεπιστημίῳ.

Τὸ τῶν Ῥηδόνων τῶν ἐν τῇ Κελτικῇ Πανεπιστήμιον τῷ τῶν Ἀθηναίων Πανεπιστημίῳ χάριν ἀποδίδωσι τοῦ κεκλῆσθαι ἐπὶ τὰς ἑορτὰς ἃς ποιήσειν μέλλει ὥςτ' ἀναμιμνήσκειν τὴν τοῦ Ἀθηναίου Πανεπιστημίου κτίσιν, ἔτος τουτὶ ἑβδομηκοστὸν καὶ πέμπτον. Ἡμῖν μέντοι δοκεῖν, οὐ μία ἑκατονταετηρὶς παρελήλυθεν, ἀλλὰ πλέον ἢ εἴκοσι καὶ πέντε ἑκατονταετηρίδες, ἐξ οὗ αἱ Ἀθῆναι τὴν οἰκουμένην διδάσκουσιν· ἐκ πολλοῦ γὰρ χρόνου, ἐν ταῖς πρὸς βορέαν χώραις καὶ ἐν ταῖς πρὸς νότον, ἐν ἑκάστῳ μὲν μικροῦ δεῖν διδασκαλείῳ ῥήτορες καὶ φιλόσοφοι δεικνύασι καὶ ἐξηγοῦνται τὰς βίβλους τῶν ὑμετέρων ποιητῶν καὶ συγγραφέων καὶ σοφῶν, ἐν ἑκάστῳ δὲ ἑρμογλυφείῳ γλυφεῖς καὶ ἀρχιτέκτονες θαυμάζουσι καὶ μιμοῦνται τὰ τῶν ὑμετέρων τεχνιτῶν ἔργα, ἀρχαιότατα μὲν τῶν πάλαι ἀνθρώπων ποιήματα, ἀείζωα δὲ τοῖς μεθ' ἡμᾶς ἀνθρώποις παραδείγματα.

Οὐ μόνον δὲ τὸ τῶν ὄντων κάλλος καὶ τὸ τῶν ἰδεῶν ἡ Ἑλλὰς ἀπέφηνε, ἀλλὰ καὶ τὴν χώραν ἡμῶν πρῶτοι Ἕλληνες διηγήσαντο. Καὶ γὰρ πρὶν Ῥωμαίους εἰς τὴν ἡμετέραν εἰςβαλεῖν, ὁ μὲν Πυθέας

Μασσαλιώτης τὰς ἀκτὰς παρέπλευσε καὶ τὴν θάλατταν τὴν τότε φοβερὰν οὖσαν ἔτεμε, ὁ δὲ Ποσειδώνιος Ἀπαμεὺς τὴν ἔνδον Κελτικὴν διῆλθε, τὰ ἤθη καὶ τοὺς τρόπους τῶν Κελτῶν ἐπισκεπτόμενος.

Οὐ πολλάκις δ' αὖ εἰς τὴν Ἑλλάδα Κελτοὶ ἦλθον, ἀπὸ τῆς ὁμίχλης πρὸς τὸν ἥλιον ἀποδημοῦντες, ἐξ οὗ Ἀπόλλων τε καὶ οἱ δαίμονες αὐτοὺς ἐκ Δελφῶν ἐξέβαλον φοβουμένους μὴ ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσῃ. Καίτοι μέμνησθε δυοῖν ὁδοιπόρων, ἐν τοῖς μάλιστα εὐδοκίμων ἀνδρῶν, οἳ πολλὰ καὶ ἀγαθὰ περὶ τῆς Ἑλλάδος εἰς τὴν Ἀρεμορικὴν ἐπανελθόντες εἶπον, ὃ μὲν ἀρχομένης τῆς ἐννεακαιδεκάτης ἑκατονταετηρίδος, ὃ δὲ τελευτώσης. Καὶ δὴ καὶ τὴν ἐν Ἀκροπόλει πρὸς τὴν Παλλάδα εὐχὴν τοῦ ἀνθρωπίνου γένους Ἀρεμορικὸς ἀνὴρ ηὔξατο, καὶ ὅτε ἐν τῇ ἀγορᾷ τῆς τῶν Τρικορίων πόλεως αὐτοῦ τὸν ἀνδριάντα οἱ πολῖται ἵδρυσαν, παρ' αὐτῷ τὸ ἄγαλμα χαλκοῦν ἔστησαν τῆς Γλαυκώπιδος Ἀθηνᾶς καὶ λέγουσι τοὺς δημότας ἐνίοτε αὐτὴν ὡς θεὸν ἔτι καὶ νῦν σέβεσθαι.

Τοιαύτης δ' οὖν πρὸς ἀλλήλους κοινωνίας οὔσης, τοῦτον τὸν καιρὸν χαίροντες ἐλάβομεν, ἵνα πολλὰ καὶ ἀγαθὰ εὐχοίμεθα τῷ τῶν Ἀθηναίων Πανεπιστημίῳ, καὶ τήνδε τὴν ἐπιστολὴν ἑλληνιστὶ πέμπομεν, ἀγγέλῳ χρώμενοι τῷ τῆς Ἑλληνικῆς γλώττης διδασκάλῳ, οὕτω καὶ ταύτῃ μᾶλλον χαριεῖσθαι ὑμῖν ἐλπίσαντες.

Le Recteur, Président du Conseil de l'Université,
L. Gérard-Varet

GRANDE BRETAGNE—ΑΓΓΛΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΒΕΡΔΩΝΙΑΣ — UNIVERSITÉ D'ABERDEEN

Η ΠΡΥΤΑΝΕΙΑ ΤΟΥ ΕΝ ΑΒΕΡΔΩΝΙΑι ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΤΩι ΕΝ ΤΑΙΣ ΑΘΗΝΑΙΣ ΠΑΝΕΠΙΣΤΗΜΙΩι ΧΑΙΡΕΙΝ.

συνηδόμεθ' ὑμῖν, ὦ ἄνδρες σοφώτατοι, ἑορτὴν ὥςπερ νόμιμον ἤδη μέλλουσι ποιεῖσθαι, χάριν τε ὡς μεγίστην ἴσμεν διότι ἡμᾶς «ποτὶ ζόφον ἠερόεντα» κατοικοῦντας εἰς τὴν πανήγυριν θεωρεῖν ὑπερφυῶς ὡς φιλανθρώπως παρακαλεῖτε. ἔτος γὰρ ἕκτον καὶ ἑβδομηκοστὸν ἀφ' οὗ οἱ Ἕλληνες, λαμπρῶς καὶ μεγαλοπρεπῶς εἰς ἐλευθερίαν αὖθις ἐξαιρεθέντες, τά τε ἄλλα ὡς ἄριστον ἐξηρτύσαντο καὶ δὴ καὶ τὴν ἐν ταῖς Ἀθήναις πάλιν κατέστησαν Ἀκαδήμειαν, ὥςτε μὴ τῶν ἔξω τῆς Ἑλλάδος περὶ τὴν ἐπιστήμην διατριβόντων καὶ μεγίστην ἐπὶ σοφίᾳ δόξαν εἰληφότων λείπεσθαι, μηδὲ τοὺς ἐπιγενη-

σομένους τῆς καλλίστης παιδείας καὶ φιλοσοφίας ἀγεύστους εἶναι. ταῦτα μὲν δὴ νεώτερα καὶ ὑπόγυια, περὶ δὲ τῶν ἀρχαίων τίς ἀγνοεῖ πάλαι ποτ᾽ εἶναι τὴν ὑμετέραν πόλιν οὐχ ὅτι τῆς Ἑλλάδος ἀλλὰ πάσης τῆς οἰκουμένης παίδευσιν; καὶ γὰρ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν εἴτε πρὸς τἀναγκαῖα τοῦ βίου χρησίμων εἴτ᾽ οὖν πρὸς τὴν τῶν πόνων ἀνάπαυλαν εὑρημένων, τῆς τε ἄλλης παρασκευῆς τῶν πραγμάτων δι᾽ ἧς δημοσίᾳ μὲν πολιτευόμεθα ἰδίᾳ δὲ τοῖς πέλας ἀνεπαχθῶς προςομιλοῦμεν, σχεδὸν ἁπάντων τῶνδ᾽ αἰτίαν εἶναι τὴν Ἑλλάδα λέγων τις οὐκ ἂν ἁμαρτάνοι. ἀλλὰ περὶ ἑκάστων τῶν παρ᾽ ὑμῶν εὐεργετημάτων, τῶν ὑπὸ πάντων ἀνθρώπων πανταχοῦ θρυλουμένων καὶ μνημονευομένων, πῶς ἂν ἡμεῖς διηγούμενοι τῷ τῶν πραγμάτων μεγέθει ἐξισώσαιμεν τοὺς ἐπαίνους ὥςτε μὴ φαίνεσθαι ἐνδεεστέρως πως δεδηλωκέναι; οὐ μὴν ἀλλὰ εὖ καὶ πρεπόντως δοκεῖ τις τῶν ἡμετέρων κεφαλαιῶσαι ὧδε λέγων

ἀφ᾽ Ἑλλάδος γὰρ πάντα γίγνεται βροτοῖς
πλὴν Γῆς Χάους τε.

ἐν ᾧ γὰρ χρόνῳ ἡμῶν οἱ πρόγονοι ὅσοιπερ εἰςορῶμεν «ὀψὲ δύοντα Βοώτην», ἔθ᾽ ὑπαίθριοι ἐν νάπαις αὐλιζόμενοι, ἢ καὶ ὥςπερ Τρωγλοδύται ἐν φωλεοῖς οἰκοῦντες,

«κατώρυχες ναίοντες ὥςτ᾽ ἀήσυροι
μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις»,

ἀπ᾽ ἀγρίων τε καρπῶν ζῶντες καὶ θηρείων σαρκῶν, τά τε σώματα ζῴων καὶ ἀνθεμίων γραφαῖς ἐστιγμένοι καὶ χρώμασι πεποικιλμένοι κυανέοις, πάσης φιλοκαλίας καὶ βίου εὐμαρείας ἐδέοντο, εἰς πᾶν ἤδη προεληλύθεσαν οἱ Ἀθηναῖοι τῆς φιλοσοφίας καὶ τῆς μουσικῆς, ὥςτε τοὔνομα αὐτῶν μηκέτι τοῦ γένους ἀλλὰ τῆς παιδεύσεως αὐτῆς ἐδόκει εἶναι καὶ, τὸ τοῦ Δημοσθένους, κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ὥςτε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι. φαίης δ᾽ ἂν τὴν πόλιν ἀρχὴν εἶναι καὶ πηγὴν εὐεργεσιῶν μεγίστων πᾶσι τοῖς ἔσω Γαδείρων τε καὶ ἔξω Γαδείρων οἰκοῦσιν· πρῶτον μὲν γὰρ ὑπὸ τῶν ἐν Μαραθῶνι καθιδρύθη τὸ πᾶσι κοινὸν τῆς ἐλευθερίας ἱερὸν τοῖς ἐπιγενομένοις ἀνθρώποις. ἔπειτα δὲ ἀφ᾽ Ἑλλάδος καθάπερ ἀπὸ Προμηθέως τινὸς παρειλήφαμεν νόμων καὶ πολιτειῶν παραδείγματα καὶ πάνθ᾽ ὅσ᾽ ἡμᾶς πρὸς ἀλλήλους πραΰνοντα τυγχάνει. ἀλλὰ τί δεῖ μακρηγορεῖν; τὸ νῦν γὰρ εἶναι πανταχοῦ τῆς γῆς ἅπαντες μὲν οἱ χαριέστεροι πρὸς τὴν τῶν ἑλληνικῶν λόγων ὅλοι εἰσὶ μελέτην προςκείμενοι, μόνοι δ᾽ οἱ ἄμουσοι καὶ πάνυ ἄγροικοι

ὀλιγωροῦσιν. καὶ δὴ καὶ εἰς τοῦτο περιέστη τὸ πρᾶγμα ὥςτε ταύτην τὴν ἐπιστήμην τῆς τῶν πόλεων ἐπιδόσεως εἰς σοφίαν ὥςπερ βάσανον γενέσθαι, ὅσῳ δὲ πλείους ἐν ἑκάστῃ τῶν ἑλληνικῶν ἔμπειροι γραμμάτων ὑπάρχουσιν, τοσούτῳ ἀξιολογωτέρα καὶ εὐκλεεστέρα ἀκούει.

ἐπειδὴ οὖν εὐεργεσίας τοιαύτας καὶ τοσαύτας τῇ τῶν Ἀθηναίων πόλει ὀφείλομεν, ὅσας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν, τῇ ὑμετέρᾳ Ἀκαδημείᾳ, τῶν ἐν τῇ Εὐρώπῃ χρόνῳ μὲν ὅσον οὐ νεωτάτῃ, τὸ δ᾽ ἀληθὲς ἀρχαιοτάτῃ καὶ μεγίστῃ καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτῃ, ἐπευχόμεθ᾽ ὀλβιώτατα πάντα καὶ εὐτυχέστατα προςάψαι τῷ Θεῷ. ἔρρωσθε.

Ἀβερδωνίαθεν, τετάρτῃ Ἐλαφηβολιῶνος ἱσταμένου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΚΟΛΛΕΓΙΟΝ ΒΑΓΓΟΡΗΣ ΤΗΣ ΒΟΡΕΙΟΥ ΟΥΑΛΛΙΑΣ
COLLÈGE UNIVERSITAIRE DE BANGOR (GALLE DU NORD)

Ganghellor, Llys, Senedd a Graddolion Prifysgol Cymru af Ganghellor, Blaenoriaid a Graddolion Prifysgol Athen.

Annerch,

Dymunwn eich Uongyfarch ar gyrraedd o'ch Prifysgol derfyn Kripharth can mlynedd o'i hoedran.

Hysbys yw gennym ymladd o'ch fadan dros ryddid ac annibyniaefh gwhadol, a'u hennil; rhwydd hynf i chwifhau yn eich brwydro dros ryddid ac annibyniaeth y meddwl. Ich cyndadu cynnar chwi yr ydym ni a'r byd oll nn ddyledus am osod sylfeini dysg a gwareiddiad; a diameu gennym y bydd eu campau hwy yn ysprydiaeth i'ch gwyr icuaine i ddilyn en hôl. Hyn oll achwanega afein llawenydd ac a ddury inniobaith cryf y bydd i Brifysgol Athen esgyn yn gyflym ac yn sicr i le anrhydeddus ymysg prifysgolion y byd.

Is-Gangellor
Harry R. Reichel

Cofrestrydd
Jonatiner Augus

Πανεπιστημίου τοῦ τῶν Ἐπιζεφυρίων Βρεττανῶν ὁ Πρύτανις καὶ τὸ Συμβούλιον καὶ ἡ Σύγκλητος καὶ οἱ διπλωματοῦχοι, Ἀθηναίων τοῦ Πανεπιστημίου τῷ τε Πρυτάνει καὶ τοῖς ἐν τέλει καὶ τοῖς διπλωματούχοις χαίρειν.

Ἡδομένοις, ὦ ἄνδρες, συνηδόμεθ᾽ ὑμῖν οἷς γε διατετέλεκε τὸ Πανεπιστήμιον ἤδη ἔτος πέμπτον καὶ ἑβδομηκοστὸν ἐξ οὗ τὸ πρῶ-

τον ἐκτίσθη. ἡδέως γὰρ ἀναμιμνησκόμεθα τῶν πατέρων ὑμῶν ὅπως ὑπὲρ τῆς πατρίδος ἀνδρειότατα κινδυνεύσαντες τέλος τῇ νίκῃ ἐπέθεσαν ἐλευθερίαν τε καὶ αὐτονομίαν πολιτικὴν τοῖς τέκνοις παραδόντες. εἰ γὰρ οὖν καὶ ὑμεῖς ὑπὲρ τῆς διανοίας τῶν Ἑλλήνων ὁμοίως ἀγωνιζόμενοι, ὅπως καὶ αὕτη ἐλευθέρα καὶ αὐτόνομος γένηται, ὁμοίως εὐδαιμονοῖτε. οὐδ᾽ ἀμνημονοῦμεν ὅτι τοῖς πάλαι Ἕλλησι, προγόνοις ὑμῶν ἐπιφανεστάτοις, ἡμεῖς αὐτοὶ, ὥςπερ καὶ ἡ πᾶσα οἰκουμένη, χάριν ὀφείλομεν ἀμήχανον· τίς γὰρ ἄλλος, τὸ τοῦ ποιητοῦ, καὶ φθέγμα καὶ ἀνεμόεν φρόνημα καὶ ἀστυνόμους ὀργὰς ἐδιδάξατο;

Ὥςτε δὴ τὰς θείας ἐπινοίας τὰς τῶν πάλαι εὖ εἰδότες τοῖς νεανίαις ὑμῶν οὐ μόνον ἄγαλμα ἀλλὰ καὶ ἀρετῆς παράδειγμα ἀνακειμένας, τῇ μὲν παρούσῃ εὐτυχίᾳ ἐπιχαίρομεν, πρὸς δὲ τὰ μέλλοντα ἡμῖν ἐλπίς ἐστι βεβαία τὸ Πανεπιστήμιον ὑμῶν οὐ διὰ μακροῦ ἐς τοσοῦτον εὐδοξίας ὅσον οὐ πολλὰ τῶν τῆς πάσης οἰκουμένης καταστήσεσθαι. Ἔρρωσθε.

Ἀντιπρύτανις
Harry R. Reichel

Ἐπιστολεὺς
Jonatiner Augus

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΑΝΤΑΒΡΙΓΙΑΣ — UNIVERSITÉ DE CAMBRIDGE

Universitas Cantabrigiensis
Universitati Atheniensi S. P. D.

Litteras ab Universitate vestra, viri doctissimi et humanissimi, haut ita pridem libenter accepimus, in quibus annum ab origine vestra quintum et septuagesimum feliciter exactum propediem celebraturi, etiam nostram Academiam gaudii vestri in partem vocare voluistis. Litteris autem in illis humanitate plenis, ex Athenis ad nos nuper allatis, nobis velut praesentes adsunt Athenienses, „unde humanitas et doctrina ortae atque in omnes terras distributae putantur". Inter alias vero doctrinae sedes etiam nobis Academiae nomen dederunt Academiae vestrae „non sine causa nobilitata spatia" in quibus Platonis primum sunt impressa vestigia". Non sine gaudio igitur recordamur alumnum nostrum Miltonum ad amicum quendam Atheniensem verba illa praeclara libertatis futurae praenuntia, olim scripsisse: quid enim vel fortissimi olim viri vel eloquentissimi gloriosius aut se dignius esse duxerunt quam vel suadendo

vel fortiter faciendo ἐλευθέρους καὶ αὐτονόμους ποιεῖσθαι τοὺς Ἕλληνας? Recordamur etiam litterarum vestrarum antiquarum amorem vestrum libertati vestrae facem praetulisse, viamque munivisse. Recordamur denique populi vestri praesertim ex liberalitate ipsam Universitatem vestram originem traxisse.

Non immerito igitur ante vestrum Πανεπιστήμιον, doctrinae vestrae ante ipsum πρυτανεῖον, inter poëtae et patriarchae statuas, positus est etiam linguae vestrae patriarcha, et patriae et libertatis et doctrinae accerrimus propugnator Adamantios Coraïs. Ornant etiam nunc Academiam vestram professores, quibus et linguae vestrae et philologiae universae studia diu dilecta sunt. Eo libentius legatum ad vos mittimus linguae Sanskriticae professorem nostrum, societatis nostrae philologicae nuper praesidem, Collegii Divi Joannis socium Edwardum Jacobum Rapson, qui philologorum ad πανήγυριν Atheniensem inter alios a nobis missus, nostrum omnium nomine Universitatis vestrae ludis saecularibus legatus noster unicus libenter est interfuturus. Valete.

Datum Cantabrigiae mensis Martii, die secundo A. S. MCMXII°.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΔΟΥΒΛΙΝΟΥ — UNIVERSITÉ DE DUBLIN

Τῷ Πανεπιστημίῳ τῷ τῆς Ἑλλάδος
τὸ Πανεπιστήμιον τὸ τῆς Ἁγίας Τριάδος Πέλας τοῦ Δουβλίνου,
χαίρειν.

Ἀσμενέστατα, ὦ ἄνδρες ἐλλόγιμοι, ἀκηκόαμεν ὅτι μέλλετε ἄγειν ἑορτὴν Ἐλαφηβολιῶνος φθίνοντος μετ' ἀγλαΐας καὶ εὐφροσύνης καὶ παρὰ πάντων μακαρισμοῦ, ὡς ἵλαρὸν μνημεῖον καὶ ἑβδομηκοστοῦ καὶ πέμπτου ἔτους ἐξ οὗ τὸ ὑμέτερον Πανεπιστήμιον ἐκτίσθη, ἐξ ὕπνου μὲν οὖν ἀνηγέρθη. Ξύνισμεν γὰρ ὅτι, πάσης Εὐρώπης ἐν σκότῳ κειμένης, ἡ ἐπίσημος Ἀκαδήμεια Ἀθήνησι τὸ παλαιὸν πάμπολλ' ἔτη λαμπάδα φαιδρὰν μαθήσεως καὶ ποιήσεως τῇ οἰκουμένῃ ἀνέχουσα διετέλεσεν. Εἶθ' οὖν ὑμεῖς, ὥςπερ ἐπρωτεύσατε πάλαι, οὕτω καὶ πρωτεύσετε τὸ λοιπὸν, καὶ τὸ τοῦ πάνυ Αἰσχύλου πάλιν ἀληθεύοιτο·

Νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.

Σπανία μὲν δῆθ' ἡ πόλεων ἀνάστασις, σπανιωτέρα δ' ἡ τῶν ἐπιστήμης ἑδρῶν.

Ἀλλὰ γὰρ οὐδὲν κωλύει μὴ οὐ Πανεπιστήμιον, καίπερ εἰ θάνατον καταναλωθὲν, ἀναβιῶναι νέον ὅμοιον τοῖς ἄστροις, κατὰ τὸ τοῦ Μίλτωνος ἀνδρὸς μάλα φιλέλληνος ἐν Λυκίδου ἐπικηδείῳ

Οὕτως ἐς εὐνὴν Φωσφόρος θαλασσίαν
δύνει, μαρανθὲν δ' ὕστερον φλέγει κάρα,
δαιδάλλεται δ' ἀκτῖνας ὡς χρυσῷ φάει
αἴθει 'ν μετώπῳ καινὸς ὀρθρίου πόλου.

Εὐχόμεθα τῷ Θεῷ ὑπὲρ τοῦ τῆς Ἑλλάδος Πανεπιστημίου τἀγαθὰ πάντα. Ὄναιτο δὴ ἀναβιωθὲν, καὶ δρόμον οὐχ ἥττω τοῦ ἀρχαίου μετ' εὐκλείας οὐκ ἐλάττονος δράμοι.

Εὐτυχεῖτε.

Anthony Traill
Ἐπιστάτης

Thomas T. Gray
Ἀπογραφεὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΔΥΝΕΛΜΙΩΝ — UNIVERSITÉ DE DURHAM

Ἡ τῶν Δυνελμίων Βουλὴ
τοῖς τοῦ Ἀθήνησι Πανεπιστημίου προεστῶσι πλεῖστα χαίρειν.

Ἤσθημεν, ὦ ἄνδρες Ἀθηναῖοι, διότι ὑμεῖς τὸ πέμπτον καὶ ἑβδομηκοστὸν ἔτος ἐξ οὗ τὸ Πανεπιστήμιον τόδε ἱδρύθη πανηγύρει καὶ ἀγῶσι κοσμήσοντες καὶ ἡμᾶς μετὰ τῶν ἄλλων Πανεπιστημίων τῆς οἰκουμένης φιλοφρονέστατα παρακεκλήκατε κοινωνούς τε εἶναι τῆς ἐθνικῆς χαρᾶς καὶ τῆς ἐπιδόσεως ἐπόπτας. καὶ πρῶτον μὲν τῶν προγεγονότων ἀγάμεθα, οἷα τῆς ἀληθινῆς σοφίας ἀθληταὶ γενναίως πεπονήκατε, ἄλλως τε καὶ τῇ Ἀρχαιολογικῇ Ἐφημερίδι τεκμαιρόμενοι, ἔπειτα τὰ ἐσόμενα μαντευόμεθα, ὡς δόξης καὶ ὠφελείας πλήρη ἔσται. πάρεστι δέ πως ἡμῖν τῶν ἄλλων μᾶλλον ὑμᾶς μακαρίζειν, ἅτε σχεδὸν ἐν τῷ αὐτῷ καιρῷ ἀρχὴν λαβοῦσιν, οὗ ἕνεκα συμπαθεῖν ἀλλήλοις εἰκότως συμβαίνει. οὐ μὴν ἀλλὰ συγχωροῦμεν ἔνια διαφέρειν· ἡμεῖς μὲν γὰρ ὥςπερ οἱ Ἀχαρνῆς, στιπτοὶ γέροντες, ἀνθράκων δημόται, εἰς μέταλλα θαμίζομεν, νεφέλαις καὶ ὁμίχλαις κεκαλυμμένοι, ὑμεῖς δὲ ὡς ὁ θεῖος καὶ περιβόητος Εὐριπίδης ὑμνεῖ, ἀεὶ διὰ λαμπροτάτου βαίνοντες· ἁβρῶς αἰθέρος, τὸ Λαύρειον πόρρωθεν ἀσπάζεσθε· ἀλλὰ προθυμίας γε καὶ εὐνοίας ἕνεκα, ὥςπερ οἱ Πλαταιεῖς ποτε τοῖς προγόνοις Μαραθῶνι, οὕτω νῦν, τῇ ἐπιστήμῃ δι' ὑμῶν εἰς τοσοῦτον προκοπτούσῃ βοηθοῦμεν, ἀρχαίαν δὴ γλῶσσαν ἱέντες, ἐπεὶ τήν γε Ῥωμαϊκὴν σχεδὸν ἀγνοοῦμεν, παρὰ γὰρ τοῖς Ὑπερβορέοις ἐπιστατῶν σπάνις ἐστὶ παμπόλλη τῶν τοιούτων. Ὑμεῖς

δὲ τῆς παλαιᾶς ἐρασταὶ καὶ τεχνῖται ὄντες εὖ οἶδ' ὅτι ἄσμενοι καὶ εὔνοι τοὺς ἡμετέρους λόγους ἀποδέξεσθε· καὶ ἵνα μὴ τῇ μακρολογίᾳ ἐπαχθεῖς γενώμεθα, ἓν μόνον προςθήσομεν, ὅτι τὴν μὲν Ἑλλάδα πάντες οἱ φιλόλογοι φιλοῦσι, πάντες δὲ τὰς Ἀθήνας, παίδευσιν μὲν τῆς Ἑλλάδος οὖσαν, μᾶλλον δὲ κατὰ τὸν τοῦ Ἀλκίφρονος λόγον ὅλην τὴν Ἑλλάδα ἐν ἑαυτῇ ἔχουσαν· οἱ γοῦν Ἄγγλοι ὅτι τὰ ἑλληνικὰ μαθήματα περὶ πλείστου ποιοῦνται μαρτυροῦσιν οὐκ ἀσφαλῶς, διὰ πολλῶν ἤδη ἐτῶν τὴν Σχολὴν ἐνθάδε κατασκευάσαντες. Οὐδεπώποτε γὰρ ὑπὸ πλειόνων οὐδὲ μετὰ πλείονος προθυμίας τὰ ὑμέτερα ἢ τανῦν παρ' ἡμῖν μελετᾶται. Οὐκοῦν ἅπαντες οἱ φιλόκαλοι μιᾷ φωνῇ ἐμβοῶντες λέγομεν. Ζήτω Ἑλλάς· καὶ γὰρ ζῇ τε καὶ ἀγαθῇ τύχῃ ζήσεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΕΔΙΜΒΟΥΡΓΟΥ — UNIVERSITÉ D'EDIMBOURG

Πανεπιστήμιον τὸ Ἐδιμβούργιον
Πανεπιστημίῳ τῷ Ἀθήνησιν χαίρειν.

Ἡδονὴν ἡμῖν, ὦ ἄνδρες, οὐ τὴν τυχοῦσαν παρέσχετε, ὅτι γενέθλια τοῦ ὑμετέρου Πανεπιστημίου μέλλοντες ἑστιάσειν τὰ ἑβδομηκοστὰ καὶ πέμπτα, τῆς ἑορτῆς καὶ ἡμᾶς ἐβούλεσθε μετασχεῖν.

Καὶ πρέπον μέν ἐστι καὶ προςῆκον τοὺς πανταχοῦ φιλομαθεῖς ἀεὶ ἀλλήλοις χαίρουσι συγχαίροντας φαίνεσθαι, οὐχ ἑτέροις δ' ἂν εἰκότως μᾶλλον συνηδοίμεθα ἢ ὑμῖν, οἷς ἐν αὐταῖς ταῖς Ἀθήναις, αἳ πάλαι οὐ τῶν Ἑλλήνων μόνον, ἀλλὰ πάντων ἀνθρώπων παίδευσις γεγένηνται, τὴν τῆς ἐπιστήμης λαμπάδα ἄσβεστον συμβαίνει διατηρεῖν.

Ἑορτάζουσιν οὖν ὑμῖν πάντ' ἀγαθὰ ἐπευχόμεθά τε καὶ μετὰ πάντων ἀνδρῶν, οἷς μέλει τὰ τῆς ψυχῆς, συνευχόμεθα καὶ ἡμεῖς τὸ ὑμέτερον Πανεπιστήμιον ἔτος εἰς ἔτος ἐπίδοσιν τὴν μεγίστην πρὸς εὐτυχίαν τε καὶ δόξαν ἀεὶ ποιήσασθαι, ὅπως εἰς αἰῶνας αἰώνων ἀληθὴς διαμενεῖ ὁ κόμπος ἐκεῖνος, ὃν εἶπεν μὲν ὁ ὑμέτερος Ἰσοκράτης, ἐπαινοῦσι δὲ πάντες ἄνθρωποι, ὅτι τοσοῦτον ἀπολέλοιπεν ἡ πόλις ὑμῶν περὶ τὸ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥςθ' οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι καὶ τὸ τῶν Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι.

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον, χαίρετε.

Ἐν Ἐδιμβούργῳ τῇ 18 Μαρτίου 1912.

W. Turner
Πρόεδρος

L. F. Grant
Γραμματεὺς τοῦ Πανεπιστημίου

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΓΛΑΣΚΟΒΗΣ — UNIVERSITÉ DE GLASCOW

Τοῦ Ἀθήνησιν Ἐθνικοῦ Πανεπιστημίου τῇ Γερουσίᾳ ἡ Γερουσία τοῦ ἐν Γλασγούῃ Πανεπιστημίου χαίρειν.

Χάριν ὑμῖν, ὦ ἄνδρες, ἴσμεν μυρίαν οὕτω φιλοφρόνως κελεύσασι πέμπειν τῶν ἡμετέρων τινὰ μεθέξοντα τῆς παρ᾽ ὑμῖν ἐσομένης εὐωχίας, ὅπερ καὶ ἄσμενοι ποιοῦμεν. καὶ δὴ καὶ μετὰ πλείστης ὑμᾶς εὐνοίας ἀσπαζόμεθα, οἷαν ἄξειν μέλλετε τὴν ἑορτὴν, ἑβδομηκοστὸν πέμπτον ἔτος τοῦ Πανεπιστημίου ἀγαθῇ τύχῃ πληρώσαντος. πρῶτον μὲν γὰρ τῶν σοφίᾳ καὶ μουσικῇ ἁπάσῃ πλεῖστον διαφερόντων Ἀθηναίων καὶ τὴν πόλιν τῆς Ἑλλάδος παίδευσιν ἀποδειξάντων ὄντες ἔκγονοι, τῶν προγόνων οὐκ ἀνάξια ἀπεργάζεσθε. ἔπειτα ὅπερ ὑμῖν Πανεπιστήμιον οἱ πατέρες, λαμπρότατα δὴ κατορθώσαντες καὶ ἐλευθερίας γενναιότατα ὑπάρξαντες τῇ Ἑλλάδι, οὐ μετὰ πολὺν χρόνον κτίσαντες παρέδοσαν, αὐτοὶ κάλλιστα διασῴζετε καὶ ἐπικοσμεῖτε. εὐδαιμονοῖτε τοίνυν καὶ αὐτοὶ καὶ ἡ πατρὶς ὑμῶν, ὅθεν καὶ οἱ πορρωτάτω ἀπέχοντες ἡμεῖς οὐκ ἐλάχιστον μέρος τῆς παιδεύσεως εἰλήφαμεν, καὶ λιπαρὰν ἀεὶ τὴν πόλιν καὶ ἰοστέφανον οἰκοῦντες πάσῃ ἀρετῇ καὶ εὐτυχίᾳ χρώμενοι εὐδοκιμοῖτε, ὥςτε καὶ αὖθις τὰς Ἀθήνας σοφίᾳ τῆς οἰκουμένης πρωτεύειν.

Χαίρετε.

Ἐσημήναντο ὁ πρύτανις
Donald Mac Alister

καὶ ὁ γραμματεὺς τῆς γερουσίας
George Miligan

Μηνὸς τρίτου ἔτους μετὰ Χριστὸν γενόμενον ,αϑιϑ΄ εἰκάδι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΛΙΒΕΡΠΟΥΛΗΣ — UNIVERSITÉ DE LIVERPOOL

Atheniensium Academiam
Liuerpuliensium Academia saluere jubet.

Non nihil, Athenienses, hoc tempore veremur ne vix satis scite et pro Nostra Liverpuliensium mercaturae peritia tamquam γλαῦκα Ἀθήναζε ἀγαγεῖν Vobis videamur qui in Athenas hoc praesertim saeculo instituimus laudes conferre. Cui tamen verecundiae ipsa Veritas, qua quidem nec divinius quicquam novimus nec mehercules humanius, obstare ac refragari videtur, dum huic conventui et tempori monet

omnimodo esse satis faciendum. In quo illud primum memoriae subicit, non iam quod cecinit poeta ille Nostratium de doctissimis „ocellum" modo quendam Athenas esse „Graeciae" sed potius paene corporis nunc instar obtinere, dum Corinthum, dum Thebas, dum ipsam etiam Spartam (quod vive utinam videre contigisset Isocrati!) civitatis hospitii caritatis artissimis vinculis coniunctas sibi atque adeo devinctas teneat. Deinde quod secundo loco urbem Vestram idem Miltonus „matrem artium" nuncupavit, quid hoc potest dici verius, quid ad has quidem Ferias accommodatius? Consentit certe ipsa humani generis universitas quae, cum doctrinae sedibus non his vel illis sed omnibus aeque aptissimum nomen requireret, hoc potissimum elegit quod Platonis Vestri memoriam immortalem excitaret, inter silvas Academi de vero de recto deque honestate auro ipso pretiosiora, suaviora melle disserentis? Nec tamen artium solum exempla sed libertatis et patriae amoris cum maxima tum sanctissima hominibus prodidistis. Testis sit ex veteribus clarissimus ille Vester Μαραθωνομάχος hanc illam esse urbem τὰν καὶ Ζεὺς ὁ παγκρατὴς Ἄρης τε φρούριον νέμει ῥυσίβωμον Ἑλλάνων, ἄγαλμα δαιμόνων, ex recentioribus Nostrorum ille historicorum facundissimus in Atticarum litterarum laudatione splendidissima: „All the triumphs of truth and genius in every country and every age have been the triumphs of Athens".

In tantis autem Vestris Graeciaeque meritis Nostrae quoque operae atque officio partem aliquam fuisse haud mediocriter gaudemus. Iam illa vetera nec tamen, quod speramus, obsoleta cum Vos rem publicam et sibi et Vobis ipsis riciperantes Nos cum favore tum armis quoque adiuvimus; mox temporibus in melius mutatis communi Vobiscum labore antiquitatis Vestrae monumenta eruimus resarcimus inlustramus, cuius insigne fuerit documentum Aristoteli sua Atheniensium res publica iam tandem reddita ac restituta. Nunc festis Academiae Vestrae natalibus pauci quidem favore praesentes, animo ac voluntate plurimi, licet absentes, laeti ut qui maxime intersumus, atque in futurum omnia fausta ac felicia et praeteritis (quo quid

maius optavimus?) consimilia Vobis precamus atque etiam auguramur. Valete.

Idibus Martiis A. S. MDCCCCXII.

Alexander Mais
Artes docentium Praeses

Ernestus T. Campagnac
Decanus

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΛΟΝΔΙΝΟΥ — UNIVERSITÉ DE LONDRES

Θεὸς τύχην ἀγαθὴν

Τὸ ἐν Λονδίνῳ Πανεπιστήμιον
τῷ ἐν Ἀθήναις Πανεπιστημίῳ χαίρειν.

Τὰ μὲν παρ᾽ ὑμῶν γράμματα, ὡς ἑβδομηκονταετηρίδα ἑορτασόντων καὶ πανήγυριν συγκαλεσόντων, μετὰ χαρᾶς ἐδεξάμεθα, ἡδόμεθα δὲ καὶ αὐτοὶ συνεπιληψόμενοι τῆς ἑορτῆς. Ὥςπερ γὰρ ὁ Περικλῆς τὰς Ἀθήνας παίδευσιν ἐκάλει τῆς Ἑλλάδος, οὕτω καὶ αὐτὴν τὴν Ἑλλάδα δικαίως ἄν τις λέγοι τοὺς ἐπιγενομένους πάντας πεπαιδευκέναι πολιτείας τε ἕνεκα καὶ πασῶν τεχνῶν καὶ παντοίας φιλοσοφίας.

Νῦν δὲ ἀναστάσης πάλιν τῆς Ἑλλάδος καὶ τῆς τῶν Ἀθηναίων πόλεως τὸ πρότερον ἀξίωμα ἀνακτησαμένης, χαίρομεν ἰδόντες αὐτὴν τάς τε ξένας Σχολὰς μετὰ πολλῆς φιλοξενίας ἀσπαζομένην καὶ τὸ ἑαυτῆς Πανεπιστήμιον εἰς τοσοῦτον αὐξάνουσαν, ὥςτε φύσεώς τε γνώσει καὶ σοφίᾳ καὶ μάλιστα τῇ φιλολογίας τε καὶ ἀρχαιολογίας σπουδῇ διαπρέπειν.

Συγχαίρομεν οὖν ὑμῖν τοσοῦτον ἐν βραχεῖ χρόνῳ προκόψασιν, καὶ ἀπεστείλαμεν τὸν πρώην Διευθυντὴν τῆς Ἀθήνησιν Ἀγγλικῆς Σχολῆς E. A. Gardner, ἀρχαιολογίας ἐν τῷ ἡμετέρῳ Πανεπιστημίῳ καθηγητὴν, τὸν καὶ πανηγυρίζειν ὑπὲρ ἡμῶν ἐπιτετραμμένον, ὡς ταῖς τε ἑορταῖς παραγενησόμενον καὶ πάντα τἀγαθὰ ὑπὲρ τοῦ Ἀθήνησι Πανεπιστημίου εὐξόμενον.

Ἔρρωσθε.

Ἔτους ΧΡΗΗΗΗΔΙΙ Φεβρουαρίου πέμπτῃ.

Rosebery
Πρόεδρος

Chollins
Ἀντιπρόεδρος

Edward H. Busk
Ἐπιστάτης τῆς Ἐκκλησίας

Henry Thied
Ἐπίτροπος

ΤΟ ΒΑΣΙΛΙΚΟΝ ΕΝ ΛΟΝΔΙΝΩι ΙΝΣΤΙΤΟΥΤΟΝ
L'INSTITUT ROYAL DE MÉDECINE A LONDRES

The Royal Institute of Public Health

Patron

His Majesty King George V.

At a Meeting of the Council of the Royal Institute of Public Health held on Thursday the twentyfirst day of March, one thousand nine hundred and twelve

It was unanimonsly resolved: That the Hearthy Congratulations of The Council be respectfully rendered to the Rector and Senate of The National University of Greece in the occasion of the Seventy fifth Anniversary of the University with every good wish for Its Continued Prosperity and Success.

In wilness whereof the Seal of the Institute is affixed her tho.

William N. Smith
MD., D. Sc. LLD. F. K. S. Ed.
Principal

James Canttie
M. A. M. B. F. R. C. S.
Hon. Secretary

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΜΑΓΧΕΣΤΡΙΑΣ — UNIVERSITÉ DE MANCHESTER

Arduus Solem

A D

Τὸ Κοινὸν τοῦ ἐν Μαγχεστρίᾳ Πανεπιστημίου
τοῖς ἐν Ἀθήναις συνθιασώταις.
Ἀγαθῇ τύχῃ.

Χαίρετ', Ἀθηναῖοι, θεῖον γένος, οὐρανίωνες,
τηλόθεν ἐκ νήσου πέμψαμεν ἀγγελίην.
Χαίρομεν ἐς σεμνὴν χἠμεῖς κληθέντες ἑορτὴν,
σύν τε θεωροῦμεν ταῖςδε πανηγύρεσι.
Ἄλλοι ἐπιστήμην ἄλλῃ μελέτησαν ἐπακτὸν,
ὑμῖν δ' ἔμφυλον τοῦτο πέφυκε τέλος·
οὐ γὰρ ἀπὸ δρυὸς εἶσ' ὑμῖν σοφοὶ οὐδ' ἀπὸ πέτρης·
πρεσβύτερος πάντων ὑμέτερος θίασος.
Ἤρξατ' ἐπεὶ πρῶτός τε καθηγητῶν καὶ ἄριστος
ἐς μέσον ἀστοῖσιν θῆκ' ἐλεγεῖα Σόλων.
Ἤκμασεν ὥς τις ἔδωκε νέῳ μετεωρολογοῦντι
Σωκράτει ἐς χεῖρας βιβλί' Ἀναξαγόρου,

ἐν δ' Ἀκαδημείᾳ Πλάτωνος πτελείᾳ ψιθύριζεν
ἦρος, Ἀριστοτέλην δ' ἐξεδίδασκε Πλάτων.
Οὔ τοι ἔφυ λιπαρὴ καὶ ἰοστέφανος πόλις ἡμῶν,
ἐν δ' ὁμίχλαις ῥυπαρὴ κεῖται ὑπερβορέοις.
Ἡμῖν δὴ λίνον ἔγχωρον τέχναι τε βάναυσοι,
ἀλλ' οὐδ' ὡς σοφίης πᾶσα πέφευγε χάρις.
Πίδακος Ἕλληνος βαιὰ λιβὰς ἐνθάδ' ἐπιρρεῖ.
χἠμῖν Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.

Alfred Hopkinson
Πρύτανις

E. Fiddes
Γραμματεὺς

Ronald M. Burrows
Καθηγητὴς Ἑλληνικῆς φιλολογίας

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΣΕΠΦΙΛΔ — UNIVERSITÉ DE SHEFFIELD

Τὸ ἐν Σέπφιλδ Πανεπιστήμιον
τῇ Συγκλήτῳ καὶ τῷ Πρυτάνει καὶ τοῖς Καθηγηταῖς
τοῦ Ἀθήνησιν Ἐθνικοῦ Πανεπιστημίου χαίρειν.

Μεγίστη δὴ χαρᾷ δεξάμενοι τὴν ὑμετέραν ἐπιστολὴν, δι' ἧς ἀπηγγείλατε ὅτι τούτῳ τῷ ἔτει τὰ γενέθλια τοῦ Πανεπιστημίου τὰ πέμπτα καὶ ἑβδομηκοστὰ ἑορτάζετε, ἀσμένως διὰ τοῦ ἡμετέρου τῆς Ἑλληνικῆς γλώσσης ὑφηγητοῦ, Ἐδουάρδου Φώρστηρ, τάδε τὰ γράμματα τῆς εὐνοίας σημεῖα ἐπέμψαμεν. Αἱ γὰρ Ἀθῆναι, μητρόπολις οὖσα τῶν τε τεχνῶν καὶ τῶν ἐπιστημῶν, πατρίς ἐστιν, ὡς ἔπος εἰπεῖν, πάντων τῶν ἐν τῇ οἰκουμένῃ φιλομούσων καὶ φιλοσόφων. Ὥςτε, εἰ καὶ ἀλλόγλωσσοι πεφύκαμεν καὶ χώραν πολὺ ἀποῦσαν οἰκοῦμεν, συγγενεῖς ὅμως ὑμῖν τοῖς Ἕλλησιν εἶναι ἡμῖν γ' αὐτοῖς δοκοῦμεν, ὡς φιλέλληνες ὄντες καὶ τῆς ἑλληνικῆς δόξης συνεραστὰι, ἀνθ' ὧν μετὰ τῆς ἀγαθῆς τύχης πάντα ὑμῖν χρηστὰ καὶ ὅσ' ἂν βούλησθε ἐπευχόμεθα γενέσθαι. Εὐτυχεῖτε.

Κ. Ἔλλιοτ
Ὁ τοῦ Πανεπιστημίου Πρύτανις

HOLLANDE — ΟΛΛΑΝΔΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΛΟΥΓΔΟΥΝΟΥ — UNIVERSITÉ DE LEYDE

Universitati Atheniensi
S. P. D.
Rector et Senatus Universitatis Lugduno-Batavae.

Ex animi sententia Vobis gratulamur dies festos iamiam Vobis celebrandos, ex animi sententia et laeti lubentesque.

Quos si nullam aliam ob causam sanctos haberemus venerandosque, iam haec idonea esset causa quod tunc in memoriam redituri estis rei, quae patribus Vestris eximio est decori, quamque cum nostris illi communem habent proavis. Utrique enim, decusso servitutis jugo patriae in libertatem restitutae ante omnia opus esse decreverunt illustri ubi pacis colerentur artes, sede. Sic ante tria saecula Academia Lugdono-Batava nata est, sic ante quindecim lustra Universitas Atheniensis. Sed adsunt causae multo graviores, quas enumerare quid attinet? Omni enim oratione facundius est ipsum Athenarum nomen, quas tamquam omnium bonarum artium inventrices colunt suspiciuntque quotquot sunt populi verae humanitatis amantes. Vivat ergo, crescat, floreat Universitas Atheniensis, praeclarum illud ejus regionis ornamentum, ubi primum lux illa est exorta, quae nunc omnem illustrat terrarum orbem.

F. Pijper
Rector

B. D. Erdmans
Actuarius

ITALIE — ΙΤΑΛΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΒΟΝΩΝΙΑΣ — UNIVERSITÉ DE BOLOGNE

Rector Universitatis Bononiensis
Rectori Universitatis Atheniensis.

Ut Latini veteres, quorum non pauci numerantur in maximis, illas omnium doctrinarum inventrices Athenas, ut ait Cicero, adire consueverunt, ne quid in cognitione et arte praeclari et perfecti quasi de suo fonte non haurirent; ita hodie fit ut, qui antiquitati litterisque studemus, in astu et ad regionem istam nonnunquam ipsi nos conferamus, saepius animo et cogitatione rapiamur. Succurrit quodammodo Propertianum illud **„Magnum iter ad doctas proficisci cogor Athenas“**; sed quo ille cogebatur ut amoris curas effugeret, nos contra amori obsequentes impellimur. Quod praeter ceteros nobis contingit quippe Italis tantam cum Graecis rerum et litterarum memoriam et gloriam communem habentibus iisdemque Universitatis Bononiensis doc-

toribus quod prius et proprium per mediam quae dicitur aetatem disciplinis et artibus exstiterit domicilium.

Cum igitur vos pristinae dignitatis et vindicatae libertatis memores, iam pridem omnibus vel ingenii vel industriae laudibus florentes, lustro XV post Athenaeum conditum perfecto feriis celebrantis nos quoque exoptetis adesse, istuc et legatum mittimus et animis benivolentissimis convolamus.

Prid. Kal. Apr. MMCXII Bononia.

Leo Pesci
Rector Universitatis

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΦΛΩΡΕΝΤΙΑΣ
INSTITUT D'ÉTUDES SUPÉRIEURES A FLORENCE

Atheniensi Studiorum Universitati Annum LXXV a quo fundata et constituta est solemniter celebranti.

Consilium Philologorum et Philosophorum Florentini Athenaei, scilicet ejus civitatis quae „Athenarum Italarum" cognomine gloriatur, multam impertit salutem omniaque fausta exoptat, animos Italorum semper gratos memorans ob lucem humanitatis et doctrinae quae toti terrarum orbi ex Hellade affulsit, spemque suam et fiduciam attestans, fore ut rerum futurarum fortuna Hellenicam gentem ad altiora usque evehat omnibusque augeat bonis.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΠΑΤΑΥΙΟΥ — UNIVERSITÉ DE PADOUE

L'Università di Padova all' Università Nazionale di Grecia.

Dalle terre di Grecia, o affratellate alle Venete dalla comune signoria del Leone di san Marco sotto il giogo d'una

* Excepté cette adresse l'Université de Bologne a envoyé aussi à l'Université comme don les publications saivantes:

Longhena Maria e Francesco Pullé Mappamondo Catalano della Estense di Modena illustrata. In Venezia 1907 (déposé à la Bibliothèque Nationale).

Kiepert Enrico Schizzo inedito di una carta riassuntiva delle cognizioni greche sull' India, compilata e donata nel 1875, durante un corso speciale di geografia dell'Asia antica al dottor Francesco L. Pullé, in Berlino. (Trois exemplaires, dont deux furent déposés à la Bibliothèque Nationale, le troisième à la collection de l'Institut Historique de l'Université).

tirannide sempre dal Leone combattuta, venivano giovani a studio e maestri all'insegnamento in questa Università, ch'ebbe tra i primi narratori della sua storia un Greco di Creta. Lunga consuetudine d'intelletti, che in Occidente alimentò la fiamma del pensiero antico e in Grecia dedusse il corso del pensiero nuovo maturato nella Rinascita.

Così, se fervore d'ammirazione e di gratitudiae verso la madre d'ogni bellezza e sapienza perennemente sospinge all'Ellade sacra la memoria di tutto il mondo civile, noi dobbiamo altresì compiacerci di care ricordanze domestiche, le quali uniscono, nel sentimento d'una continuità d'officio, il nostro Ateneo a quello della Grecia risorta.

E l'Università di Padova saluta con allegrezza cordiale il LXXV natalizio dello Studio di Atene augurando glorioso pur l'avvenire al Popolo e alla Scienza di Grecia.

Padova, il primo giorno d'Aprile, MCMXII

Il Consiglio Accademico

Vittorio Rossi,
Rettore

Nino Tamassia, ***Pietro Spico,*** ***Biagio Brugi,***
Adolfo Faggi, ***Manfredo Bellati,*** ***Vittorio Polacco,***
Ettore Truzzi, ***Francesco d'Arcais,*** ***Ferdinando Lori,***
Luigi D. Marsi, ***Camillo Manfroni,*** ***Augusto Bonome.***

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΠΑΝΟΡΜΟΥ — UNIVERSITÉ DE PALERME

Libertate optima domi frui
Armis adversus barbaros victoribus accingi
Athletarum pugilum equorum studiis incumbere
Aera spirantia excudere
Pictis tabulis spectantium vultus suspendere
Tibiis psallere chordis resonantibus ludere
Mente penetrabili naturae claustra effringere
Animum ad superiora intendere
Graecia nutrix omnes mortales docuit.

Decimo quinto lustro exeunte
Ex quo renascentes Athenis ingenuas artes
Placido lumine fortuna vidit

Ut semper graeca gens bona alite ducatur
Graeca Panormus omnibus votis petit.

Fridericus Raffaele
Rector confici jussit

V. Ussani
epigramma composuit

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΠΑΒΙΑΣ — UNIVERSITÉ DE PAVIE

Alla Università di Atene

Che su le rive de l'Ilisso riacceso il faro de l'antica sapienza ellenica, ne illumina la stirpe da gloriose lotte per la libertà contro la più dura schiavitù rinovata,

l' Università di Pavia

vetusta custode e nutrice di sapienza italica su le rive del Ticino invia fraterno saluto ed augurio di prosperità e di vita immortale ne l'assidua ricerca del vero, del bene, del utile, in cui si cimentano gli Atenei de le Nazioni civili per guidare le genti umane a più alti destini.

Pavia, 2. Aprile MCMXII

Il Rettore
Luigi Berzolari

Camillo Golgi
Luigi Brugnatelli
C. Romano
Oreste Ranelletti
J. Taramelli

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΡΩΜΗΣ — UNIVERSITÉ DE ROME

Rector Magnificus et Doctores clarissimi Universitatis Romanae
Rectori Magnifico et Doctoribus clarissimis Universitatis Atheniensis.

Diem natalem quintum et septuagesimum Universitatis vestrae, clarissimi et doctissimi Viri, vobis sollemniter celebrantibus gratulamur, laetamur, bona omnia adprecamur.

Graecia et Italia, Athenae et Roma antiquitus sunt artissimo inter se vinculo coniunctae. Quis enim ignorat, Romam clarissimum humanitatis lumen, quo orbem terrarum complevit, magna ex parte a Graecia, ab Athenis accepisse?

Quod si ad nostra tempora oculos advertimus, ea est inter Graeciam et Italiam rerum virtutisque similitudo, ut hinc etiam utrique populo nova eademque maxima amicitiae proficiscatur causa cum mutuae tum optatissimae.

Nam ut vos, sic nos contra omne jus fasque miserrimam crudelissimamque servitutem diu sumus perpessi; ut vos, pristinam dignitatem veteremque gloriam respicientes, mortem ipsam servili jugo anteponendam existimantes, plurimo sanguine libertatem tandem recuperavimus: qua incolumi et florente, cum singulorum hominum vita tum populorum et esse potest et vere est beata; qua oppressa et deleta, omnia sunt miserrima, omnia sunt et metus et odii et doloris plena.

